εἰ μὴν εἰς πρόσωπόν σε εὐλογήσει.
6 εἶπεν δὲ ὁ κύριος τῷ διαβόλῳ Ἰδοὺ παραδίδωμί σοι αὐτόν,
μόνον τὴν ψυχὴν αὐτοῦ διαφύλαξον.
7 Ἐξῆλθεν δὲ ὁ διάβολος ἀπὸ τοῦ κυρίου
καὶ ἔπαισεν τὸν Ιωβ ἕλκει πονηρῷ ἀπὸ ποδῶν ἕως κεφαλῆς.
8 καὶ ἔλαβεν ὄστρακον, ἵνα τὸν ἰχῶρα ξύῃ,
καὶ ἐκάθητο ἐπὶ τῆς κοπρίας ἔξω τῆς πόλεως.
9 Χρόνου δὲ πολλοῦ προβεβηκότος εἶπεν αὐτῷ ἡ γυνὴ αὐτοῦ
Μέχρι τίνος καρτερήσεις λέγων
9a Ἰδοὺ ἀναμένω χρόνον ἔτι μικρὸν
προσδεχόμενος τὴν ἐλπίδα τῆς σωτηρίας μου;
9b ἰδοὺ γὰρ ἠφάνισταί σου τὸ μνημόσυνον ἀπὸ τῆς γῆς,
υἱοὶ καὶ θυγατέρες, ἐμῆς κοιλίας ὠδῖνες καὶ πόνοι,
οὓς εἰς τὸ κενὸν ἐκοπίασα μετὰ μόχθων.
9c σύ τε αὐτὸς ἐν σαπρίᾳ σκωλήκων κάθησαι διανυκτερεύων αἴθριος·
9d κἀγὼ πλανῆτις καὶ λάτρις
τόπον ἐκ τόπου περιερχομένη καὶ οἰκίαν ἐξ οἰκίας
προσδεχομένη τὸν ἥλιον πότε δύσεται,
ἵνα ἀναπαύσωμαι τῶν μόχθων καὶ τῶν ὀδυνῶν, αἵ με νῦν συνέχουσιν.
9e ἀλλὰ εἰπόν τι ῥῆμα εἰς κύριον καὶ τελεύτα.
10 ὁ δὲ ἐμβλέψας εἶπεν αὐτῇ
Ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας·
εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν;
ἐν πᾶσιν τούτοις τοῖς συμβεβηκόσιν αὐτῷ
οὐδὲν ἥμαρτεν Ιωβ τοῖς χείλεσιν ἐναντίον τοῦ θεοῦ.
11 Ἀκούσαντες δὲ οἱ τρεῖς φίλοι αὐτοῦ τὰ κακὰ πάντα τὰ ἐπελθόντα αὐτῷ
παρεγένοντο ἕκαστος ἐκ τῆς ἰδίας χώρας πρὸς αὐτόν,

5$^{2}$ μην (cf. 1 11$^{2}$)] μη A† || 6$^{2}$ μονον ad 6$^{1}$ trahit S† | την] + δε S*† | διαφυλ.] διατηρησον A || 7$^{1}$ απο] παρα A | 7$^{2}$ εως] μεχρι S$^{c}$ || 8$^{1}$ ελαβεν] + ιωβ A | τον ιχ. ξυη] αποξεη(cf. 7 5) τον ιχ. αυτου A (αυτου in *O* sub ※) | 8$^{2}$ εκαθητο BS*†] pr. αυτος rel. (in *O* sub ※) || 9$^{1}$ αυτω] τω ιωβ A || 9a$^{1}$ αναμενω > S*† | 9a$^{2}$ μου] αυτου S*† || 9b$^{1}$ σου / το μνημ.] tr. A† | 9b$^{2}$ υιοι] + σου A | εμης] pr. της A || 9c τε] δε A | καθησαι > S*† || 9d$^{1}$ πλανητις] -νωμενη BS*† | 9d$^{2}$ περιερχ.] > BS*†, suppleuit S$^{c}$† in fine stichi | 9d$^{3}$ δυσεται] -ση A$^{(†)}$ | 9d$^{4}$ μοχθων] + μου B | των 2$^{0}$] + περιεχουσων με A || 9e (= 𝔐 9$^{2}$) εις] προς A || 10$^{2}$] pr. ινα τι A | ελαλ.] pr. ουτως A | 10$^{3}$ τα 1$^{0}$] + μεν A† | τα 2$^{0}$] + δε A† | 10$^{4}$ πασιν τουτοις] tr. A | 10$^{5}$ init. — χειλ.] ουχ ημαρτεν ιωβ ουδε εν τοις χ⟨ε⟩ιλεσιν αυτου A† (αυτου in *O* sub ※) || 11$^{2}$ παρεγενετο S† | χωρας] πολεως A† | αυτον] + του παρακαλεσαι και επισκεψασθε(pro -θαι) αυτον A$^{(†)}$: ex 11$^{7}$

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246994X/279 UNIVERSITÄT LEIPZIG